Ακαδημία Αθηνών / Academy of Athens

Δημόκριτος 96 *χαριστικὸς οὐχ ὁ βλέπων πρὸς τὴν ἀμοιβήν, ἀλλ' ὁ εὖ δρᾶν προῃρημένος.*

**δριμύς.** Δριμύς, sharp, Δημόκριτος A 135 (DK II 118,24) τὸν δὲ *δριμὺν* μικρὸν καὶ περιφερῆ καὶ γωνιοειδῆ, σκαληνὸν δὲ οὐκ ἔχειν. Πρβλ. *ὀξύς, στρυφνός.*

**δύειν** (τύπ. *δύνειν*). Δύω, set, Ἡράκλειτος 16 *τὸ μὴ δῦνόν ποτε πῶς ἄν τις λάθοι;* ‖ **δύεσθαι.** Βυθίζομαι, sink, Ἐμπεδοκλῆς 54 *αἰθὴρ <δ' αὖ> μακρῇσι κατὰ χθόνα δύετο ῥίζαις.*

**δύνειν.** Βλ. **δύειν.**

**δύναμις 1** (συνών. *ἰσχύς, κράτος*). Δύναμη/ἱκανότητα, power/ability, Παρμενίδης 9.2 *αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀνόμασται καὶ τὰ κατὰ σφετέρας δυνάμεις ἐπὶ τοῖσί τε καὶ τοῖς* Φιλόλαος 11.2-4-17 *θεωρεῖν δεῖ τὰ ἔργα καὶ τὴν οὐσίαν τῶ ἀριθμῶ καττὰν δύναμιν ἅτις ἐστὶν ἐν τᾷ δεκάδι ... δύναμις καὶ τᾶς δεκάδος. ἄνευ δὲ τούτας πάντ' ἄπειρα καὶ ἄδηλα καὶ ἀφανῆ ... ἴδοις δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν* **2** (συνών. *εὐσθένεια, ῥώμη*, ἀντίθ. *ἀσθένεια*). Φυσικὴ δύναμη/ἀντοχή, natural strength/endurance, Μέλισσος 7(4) *οὐδὲ ἔχει ἴσην δύναμιν τῷ ὑγιεῖ* Δημόκριτος 3.3 *τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πρήσσειν, μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσσ' ἂν πράσσῃ, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν* 234 *ὑγιείην εὐχῇσι παρὰ θεῶν αἰτέονται ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν ἐν ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν.* ‖ **κατὰ δύναμιν.** Κατὰ δύναμη, (to) the best of one's ability, Δημόκριτος 261.2 *ἀδικουμένοισι τιμωρεῖν κατὰ δύναμιν χρὴ καὶ μὴ παριέναι.* Πρβλ. *δύνασθαι.*

**δύνασθαι** (συνών. *δυνατός εἰμι, ἰσχύειν, κρατύνειν, κρατεῖν*). Μπορῶ/ἔχω τὴ δυνατότητα, can/be able, Ξενοφάνης 1.15 *εὐξαμένους τὰ δίκαια δύνασθαι πρήσσειν* Ἀλκμαίων 2.2 *τοὺς ἀνθρώπους διὰ τοῦτο ἀπόλλυσθαι, ὅτι οὐ δύνανται τὴν ἀρχὴν τῷ τέλει προσάψαι* Μέλισσος 6 *εἰ γὰρ <ἄπειρον> εἴη, ἓν εἴη ἄν· εἰ γὰρ δύο εἴη, οὐκ ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ' ἔχοι ἂν πείρατα πρὸς ἄλληλα* Ἀναξαγόρας 6.5 *ὅτε τοὐλάχιστον μὴ ἔστιν*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ